# Τῌ ΚΔ΄ ΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ

Μνήμη τοῦ ἁγίου ἐνδόξου Ἱερομάρτυρος καὶ Ἰσαποστόλου Κοσμᾶ τοῦ Αἰτωλοῦ, ἀθλήσαντος δι᾽ ἀγχόνης κατὰ τὸ ἔτος 1779.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ψαλμὸς ργ΄ (103)

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονής Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης

θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σοο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## Εἰ δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄ καὶ ψάλλομεν

Ἦχος Πα




χη η η μου ως θυ μι α α α μα α
ε νω πι ο ο ον σου ε παα αρ σι ι ις
τω ων χει ει ει ρω ω ω ων μου θυ σι
ι α ε ε ε σπε ρι ι ι νη η ει σα α
α α κου σο ον μου ου Κυ υ ρι ι ε ε
Θου Κυ υ ρι ε φυ λα κην τω στο
μα τι μου και θυ υ ραν πε ρι ο χης πε
ρι τα χει λη μου
Μη εκ κλι νης την καρ δι αν μου εις λο
γους πο νη ρι ας του προ φα σι ζε σθαι
προ φα σεις εν α μαρ τι αις

Συν αν θρω ποις ερ γα ζο με ε νοις την
α νο μι αν και ου μη συν δυ α σω με
τα των ε κλεκ των αυ των

Παι δευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε ε λαι ον δε α μαρ τω λου
μη λι πα να τω την κε φα λην μου

Ο τι ε τι και η προ σευ χη μου εν
ταις ευ δο κι αις αυ των κα τε πο θη σαν ε
χο με να πε τρας οι κρι ται αυ των

Α κου σον ται τα ρη μα τα μου ο τι
η δυν θη σαν ω σει πα χος γης ερ ρα γη

ε πι της γης δι ε σκορ πι σθη τα ο στα αυ

των πα ρα τον Α δη

Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο

φθαλ μοι μου ε πι σοι οι ηλ πι σα μη αν

τα νε λεις την ψυ χην μου

Φυ λα ξο ον με α πο πα γι δος ης

συν ε στη σαν το μοι και α πο σκαν δα

λων των ερ γα ζο με νων την α νο μι αν

Πε σουν ται εν αμ φι βλη στρω αυ των οι

α μα ρτω λοι κα τα μο νας ει μι ε γω ε

ως αν πα ρελ θω


Φω νη μου προς Κυ ρι ον ε κε κρα ξα
φω νη μου προς Κυ υ ρι ον ε δε η
θην
Εκ χε ω ε νω πι ον αυ του την δε
η σιν μου την θλι ψιν μου ε νω πι ον αυ του
α παγ γε λω
Εν τω εκ λει πει ειν εξ ε μου το πνευ μα
μου και συ εγ νως τας τρι βους μου
Εν ο δω ταυ τη η ε πο ρευ ο
μην ε κρυ ψαν πα γι δα μοι
Κα τε νο ουν εις τα δε ξι α α

και ε πε βλε πον και ουκ η ην ο ε πι

γι νω σκων με

Α πω λε το φυ γη η απ ε μου και ουκ

ε ε στιν ο εκ ζη τω ων την ψυ χην μου

Ε κε κρα ξα προς σε Κυ υ ρι ε ει

πα Συ ει η ελ πις μου με ρι ις μου η

εν γη ζων των

Προ σχες προς την δε η σιν μου ο ο

τι ε τα πει νω θην σφο δρα

Ρυ σαι με εκ των κα τα δι ω κον των

με ο τι ε κρα ται ω θη σαν υ περ ε με


Ε ξα γα γε εκ φυ λα κης την ψυ χην
μου του ε ξο μο λο γη σα σθαι τω ο
νο μα τι σου
Ε με υ πο με νου σι δι και οι ε ως
ου αν τα πο δως μοι
Εκ βα θε ων ε κε κρα ξα σοι Κυ ρι
ε ε Κυ ρι ε ει σα κου σον της φω νης
μου
Γε νη θη η τω τα ω τα σου προ σε χον
τα εις την φω νη ην της δε η σε ως μου

Εἶτα ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.
Ἦχος δ'.
Ὁ ἐξ Ὑψίστου κληθείς.

Ἦχος λ̄ γ́τος




**Ὁ** Ἀποστόλων τὸν ζῆλον κεκτημένος, ὅτε φῶς οὐράνιον, ἐν τῇ καρδίᾳ σου, δι' ἀρετῆς τελειότητα, κατασκηνῶσαν, χάριτος θείας πλήρη σε ἔδειξε, τότε ὡς πολύφωτος ἥλιος ἔλαμψας, ἐξ Ὄρους Ἄθω καὶ ηὔγασας, πάσῃ Ἑλλάδι, Εὐαγγελίου τὸ θεῖον κήρυγμα, βίου ἀμέμπτου τὴν λαμπρότητα, ἀναφαίνων Κοσμᾶ Ἰσαπόστολε, ὑποθήκαις ἁγίαις, καὶ ἠθῶν τῇ καθαρότητι.




με νος ο τε φως ου ρα νι ον εν τη καρ
δι α σου δι α ρε της τε λει ο τη τα κα
τα σκη νω σαν χα ρι τος θει ει ας πλη
ρη σε ε δει ξε το τε ως πο λυ φω τος η λι
ος ε λαμ ψας εξ Ο ρους Α θω και ηυ γα σας πα
ση Ελ λα δι Ευ αγ γε λι ι ου το θει ον
κη ρυγ μα βι ου α με εμ πτου την λαμ προ
τη τα α να φαι νων Κο σμα Ι σα πο στο
λε υ πο θη καις α γι ι ι αις και η θων
τη κα θα ρο τη τι
Ε νε κεν του ο νο μα τος σου υ

πε μει να σε Κυ ρι ε υ πε μει νεν

η ψυ χη μου εις τον λο γον σου ηλ πι

σεν η ψυ χη η μου ε πι τον Κυ ρι ον

Εὐαγγελίου ὁ μέγας ὑποφήτης, τὸ εὔσημον ὄργανον, βίου σεμνότητος, ὁ τῆς ἀγάπης διδάσκαλος, τοῦ Παρακλήτου, τὸ θεῖον στόμα καὶ μεγαλόφωνον, Κοσμᾶ Ἰσαπόστολε μύστα τῆς χάριτος, τίς κατ' ἀξίαν τοὺς κόπους σου, καὶ τοὺς ἀγῶνας, ἐκδιηγήσεται οὕς περ ἤνυσας, ὡς γὰρ ὁ Παῦλος θείῳ ἔρωτι, ἵνα πλείστοις κηρύξῃς τὰ κρείττονα, κατ' αὐτὸν τοῦ Σωτῆρος, τὸν Σταυρὸν Πάτερ ἐβάστασας.

Ευ αγ γε λι ι ου ο με γας υ πο φη

της το ευ ση μον ορ γα νον βι ου σε μνο τη

τος ο της α γα πης δι δα σκα λος του Πα ρα

κλη του το θει ον στο ο μα και με γα

λο φω νον Κο σμα Ι σα πο στο λε μυ στα της

χα ρι τος τις κατ α ξι αν τους κο πους σου και

τους α γω νας εκ δι η γη η σε ται ους περ

η νυ σας ως γαρ ο Πα αυ λος θει ω

ε ρω τι ι να πλει στοις κη ρυ ξης τα κρειτ

το να κατ αυ τον του Σω τη η η ρος τον

Σταυ ρον Πα τερ ε βα στα σας

Α πο φυ λα κης πρω ι ας με χρι

νυ κτος α πο φυ λα κης πρω ι ας

ελ πι σα τω Ι σρα ηλ ε πι τον Κυ ρι

ον

Ἐνδεδυμένος τὴν δύναμιν ἐξ ὕψους, καὶ λόγον σωτήριον, ἐκ τῶν χειλέων σου, τῇ ἐπιπνοίᾳ τοῦ Πνεύματος, ὡς πολυχεύμων, ἀναβλυστάνων πηγὴ μακάριε, πλουσίως κατήρδευσας ψυχῶν τὰς αὔλακας, ἐξηραμμένας τὸ πρότερον, παθῶν τῇ ὕλῃ, χωρία, πόλεις καὶ νήσους Ἅγιε, καταφωτίσας τῷ κηρύγματι, καὶ Μαρτύρων στεφθεὶς διαδήματι, ὦ Κοσμᾶ θεηγόρε, ἡμᾶς ῥῦσαι πάσης θλίψεως.




σους Α γι ε κα τα φω τι ι σας τω κη
ρυγ μα τι και Μαρ τυ ρων στε φθεις δι α δη
μα τι ω Κο σμα θε η γο ο ο ρε η μας
ρυ σαι πα σης θλι ψε ως

Προσόμοια ἕτερα.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἦχος τος




Αἰτωλίας τὸ βλάστημα, Ἐκκλησίας τὸ στήριγμα, καὶ σοφὸν διδάσκαλον θείῳ Πνεύματι, Εὐαγγελίου τὸν κήρυκα, καὶ βίου σεμνότητος, φυτοκόμον ἀληθῆ, τὸν τῷ λόγῳ ἐκτίλλοντα, τὰ ζιζάνια, καὶ ψυχὰς γεωργοῦντα θείῳ φόβῳ, μακαρίσωμεν ἀξίως, Κοσμᾶν τὸν μέγαν φιλέορτοι.






Καὶ ἐν Ἄθῳ διέπρεψας, καὶ ἐν πόλει τοῦ Βύζαντος, διδαχαῖς καὶ πράξεσι θείας πίστεως, Μακεδονίαν δὲ Ἅγιε, καὶ Ἤπειρον ἅπασαν, δρόμῳ Ἀποστολικῷ, καὶ τὰς νήσους διέτρεξας, πόνοις πλείοσι, πρὸς ἀγάπην τὴν θείαν διεγείρων, καὶ τὴν κτῆσιν τῶν κρειττόνων, Κοσμᾶ πιστῶν τὰ συστήματα.


Και εν Α θω δι ε πρε ψας και εν πο
λει του Βυ ζαν τος δι δα χαις και πρα α ξε σι θει
ας πι στε ως Μα κε δο νι αν δε Α γι ε
και Η η πει ρον α πα σαν δρο μω Α πο στο
λι κω και τας νη σους δι ε τρε ξας πο νοις πλει
ο σι προς α γα α πην την θει αν δι
ε γει ρων και την κτη σιν των κρειτ το ο νων
Κο σμα πι στων τα συ στη μα τα
Ο τι ε κρα ται ω θη το ε λε
ος αυ του εφ η μας και η α λη θει α
του Κυ ρι ου με ε νει εις τον αι ω να

Ὡς ὁ Παῦλος ὁ ἔνθεος, τὸ Χριστοῦ Εὐαγγέλιον, πανταχοῦ ἐκήρυξας ἱερώτατε, ἐκ Βυζαντίου ἀρξάμενος, δυνάμει τοῦ Πνεύματος, μέχρι δὲ Ἰλλυρικοῦ, γεγονὼς πλείστους ἔσωσας, τοῖς σοῖς σκάμμασι, καὶ ἀγχόνῃ τὸν δρόμον σου τελέσας, μαρτυρίῳ ἐκοσμήθης, Πάτερ Κοσμᾶ Ἰσαπόστολε.



## Δόξα. Ἦχος πλ. β'
### Κωνσταντίνου Λάμπρου

Ἦχος λ/π Πα




η σω ω ω μεν χαι αι αι αι αι ροις
ο τω θει ω φω τι κα α ταυ γα σθεις και της
ευ σε βει ει ας τον λο ο γο ο ον τρα α
νω ω ω σας εν τη δο θει ει ση η η σοι χα
α α ρι ι ι ι τι χαι αι αι ροις των
Α πο στο ο λω ων μι ι ι μη της ως
του ζη λου εμ πλε ε ε ως και τοις δρο ο μοι οι
οις ο μο ο ο τρο ο ο ο πος χαι αι
ροις της Αι τω λι ι ι ι ι α α ας βλα
στος του Α γι ω νυ υ μου Ο ο ρου ους
κα αυ χη η μα και πα σης Εκ κλη η σι ι ι ι


ας κο οσμος θει ει ει ει ος Αλλ ω Μαρ
τυ υ υ ρων συ υ υ να α α α θλε Ι
ε ρο μα αρ τυ υ υς σο φε πρε σβευ ε
Χρι στω ω ω ω τω Θε ε ω υ
πε ερ τω ων ψυ χω ω ων η η η η μων

Για τις εκτός Παρασκευής ημέρες ψάλλεται τὸ παρόν.

Ἦχος λ/π Πα




ηηλθεν α αφραα στωςσαρ κω ω ωθεις
φυ υσειΘε ο ο οος υ πα α αρχων
και φυσει γε νο ο με ε ε ε νος α αν
θρω ω ωποςδι ι ι ι ι η η η η μας
ουκ εις δυ α α α δαπροο σω ω ω πων
τε μνοο ο ο ο με ε ε ε νος αλλεν
δυ α αδι φυ υ υσε ε ε ων α συγ χυ
τωςγνω ω ωρι ζο ο ο με ε ε ε νος
αυ τον ι ι κε ε τε τε ευ ε σε ε
μνη η η παμ μα κα α α α α α ριπαμ
μα κα α ρι ι στε ε ε λε η θη η η η


η η η ναι τα ας ψυ χα α α ας η
η η η μω ω ω ω ων

## Εἴσοδος, Φῶς ἱλαρόν

Ἦχος Δι






## *ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ*

## Προκείμενον
## Τῇ Κυριακῇ ἑσπέρας

Ἦχος πλ. δ΄ Νη




**Στίχ. Οἱ** ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

*Τὸ τρίτον.*



## Προκείμενον
## Τῇ Δευτέρᾳ ἑσπέρας
## Ἦχος δ'

Ἦχος Δι




Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου.

Τὸ τρίτον.



Τῇ Τρίτῃ ἑσπέρας. Προκείμενον.

Ἦχος πα Πα




(Δὶς)

**Στίχ: Κ**ύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον:



## Τῇ Τετάρτῃ ἑσπέρας

## Προκείμενον

Ἦχος πλ. δ΄ Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον

με και εν τη δυ να μει σου κρι νει ει ει εις

με (Δίς)

**Στίχ.** **Ὁ** Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τά ρήματα τοῦ στόματός μου.

*Τὸ τρίτον.* Ο Θε ος εν τω ο νο μα τι

σου σω σον με και εν τη δυ να μει σου κρι

νει ει εις με ε ε

Τῇ Πέμπτῃ ἑσπέρας.

Προκείμενον

Ἦχος πλ. α΄ Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

**Στίχ.** Ἦρα τούς ὀφθαλμούς μου εἰς τά ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

*Τὸ τρίτον.* Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

## Ἑσπέρας Προκείμενον.
## Τῇ Παρασκευῇ Ἑσπέρας

Ἦχος Βαρύς

Ο Θε ος αν τι λη πτωρ μου ει το ε

λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καί ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμέ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ

μου ει ει το ε λε ο ος σου προ φθα α σει με ε

ε

Εἶτα τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(ι΄ 7, γ΄ 13-16, ἐκλογή).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν, ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἀπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ,

καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
## (μγ΄ 9-14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (γ´ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμένουσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον (ἅπαξ)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν , τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. `Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου

εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

# ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΚΟΣΜΑ ΤΟΥ ΑΙΤΩΛΟΥ

## Εἰς τὴν Λιτήν, Στιχηρὸν Ἰδιόμελον.

Ἦχος Πα




ερ ρυ υ υ υ ϑμι ι σε και μαρ τυ ρι
κω τε λει δο ξα α α σα ας το ο ον Χρι
ι στο ο ον της αι ω νι ου δο ο ξης η ξι ι
ι ι ω ω ται Α πο στο λων και Μαρ
τυ υ υ υ υ ρων συ νων χο ο ρει ει ει
αις μεθ ων και αι πρε ε σβε ευ ει υ πε ερ τω
ων ψυ χω ω ω ων η η μω ω ω ων

Πλαγίου Τετάρτου.

Ἦχος Νη




Πα ρα σχου Κυ ρι ε
Υ περ α γι α Θε ο το κε σω σον η
μας
Σοι οι οι οι οι οι οι οι οι οι Κυ υ
υ υ ρι ε
Α μην
Ἦχος Ἐναρμόνιος
Κυ ρι ε ε ε λε ε η σον
Κυ ρι ε ε λε η σον
Κυ υ ρι ε ε λε η η σον
Κυ ρι ε ε ε λε ε η η σον


Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

## Εἰς τὴν Ἀρτοκλασίαν

### Ἐπιλογές παρά διαφόρων Διδασκάλων



## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ. Α'



## Θεοτόκε Παρθένε

Ἦχος πλ. α' Κε




η η η μω ω ω ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Το τέλος τοῦ τρὶτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

Εἰς τὸν Στίχον. Στιχηρὰ προσόμοια.
Ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Ἀποστόλων Χριστοῦ, ὡς ἀληθῶς ὁ μιμητὴς καὶ ὁμότροπος· αὐτῶν γὰρ τὸν ζῆλον Πάτερ, ἀναλαβὼν ἱερῶς, τοῦ Εὐαγγελίου κῆρυξ ἔνθεος, καὶ στόμα θεόφθογγον, ἐχρημάτισας Ὅσιε, τοῖς ἐν δουλείᾳ, χαλεπῇ κινδυνεύουσιν, ὧν διέπλασας, τῶν ἠθῶν τὴν κατάστασιν, λόγῳ διδασκαλίας σου, καὶ πλείστοις ἐν θαύμασι, τούτων τὸν νοῦν ἑδραίωσας, τῷ θεμελίῳ τῆς πίστεως, Κοσμᾶ θεηγόρε· διὰ τοῦτο τὴν ἁγίαν, τελοῦμεν μνήμην σου.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Χαίροις τῆς ἐπιπνοίας Θεοῦ, ὄργανον θεῖον καὶ δοχεῖον πολύτιμον· ἐλλάμψεως γὰρ τῆς θείας, δι᾽ ἐναρέτου ζωῆς, ὡς Μωυσῆς ἐν Ὄρει κατετρύφησας· ἐντεῦθεν ἐξέδραμες· ὡς Ἀπόστολος ἔνθεος, πᾶσι κηρύττων, εὐσεβείας τὰ δόγματα, καὶ μετάνοιαν, τοῖς πιστοῖς ὑφηγούμενος· ὅθεν τῷ σῷ κηρύγματι, ἡ Ἤπειρος ἅπασα, Μακεδονία καὶ νῆσοι,

θεοπρεπῶς ἐκπαιδεύθησαν, Χριστὸν ἀνυμνοῦσαι, τὸν δοξάσαντα Κοσμᾶ σε, δόξῃ τῇ κρείττονι.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις τῆς Αἰτωλίας βλαστός, τῆς Ἐκκλησίας θεοφόρος διδάσκαλος, τὸ στόμα τῆς εὐσεβείας, τῶν ἐσφαλμένων ἠθῶν, ἀμφίστομον ξίφος θείῳ Πνεύματι, Κοσμᾶ Ἰσαπόστολε, ὑποφῆτα τῆς χάριτος, ὁ τῷ σῷ λόγῳ, ἐκ βυθοῦ ματαιότητος, πλείστους Ἅγιε, ὁδηγήσας πρὸς Κύριον· πᾶσι γὰρ παρατέθηκας, τὰ θεῖα διδάγματα, τοῖς ἐν ἀγνοίᾳ τῆς πλάνης, χειμαζομένοις τὸ πρότερον, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ θεῖον ἔλεος.

Δόξα. Κωνσταντίνου Λάμπρου.

Ἦχος πλ. δ' Νη




ο ο ξα α α α σας τα σα θε ε ο ο ο
φθογ γα χει ει ει ει λη και νυν της α
νω ω δο ο ο ξης κα α τα τρυ φω ω ων α
πα α αυ στως ι κε ε ε τε ε ε ευ ε
ε υ πε ε ερ τω ω ων ψυ χω ω ων
η η η η μων

## Θεοτοκίον σύντομον.

Και νυ υν και α ει ει και εις τους αι

ω νας των αι ωνων Αμην

Δε ε σποι να προσδεξαι τας δε ησεις

των δουλων σου και λυτρωσαι η μας α

πο πα ασης α να αγκης και θλι ι ψεε ω ω

ω ως

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,

Ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ἀπολυτίκιον

Ἀπολυτίκιον.

Ἦχος γ'. Θείας πίστεως.

Θείας πίστεως, διδασκαλίᾳ, κατεκόσμησας, τὴν Ἐκκλησίαν, ζηλωτὴς τῶν Ἀποστόλων γενόμενος· καὶ κατασπείρας τὰ θεῖα διδάγματα, μαρτυρικῶς τὸν ἀγῶνα ἐτέλεσας. Κοσμᾶ ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον. Ἦχος α'.

Τῆς ἐρήμου πολίτης.

Δόξα...

Αἰτωλίας τὸν γόνον, Ἀποστόλων τὸν σύμπονον, Φιλοθέου Μάνδρας τὸ κλέος, καὶ τοῦ Ἄθω τὸ σέμνωμα, Κοσμᾶν τὸν Ἰσαπόστολον πιστοί, ὡς κήρυκα τῆς πίστεως σοφόν, καὶ ὡς μέγαν εὐσεβείας ὑφηγητήν, τιμήσωμεν κραυγάζοντες. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ νῦν... Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ

ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, ἧς τὰ Εἰσόδια

ἑορτάζομεν, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τὸν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

Τόν Εὐλογοῦντα...




Τὸν Δεσπότην καί Ἀρχιερέα




Ἀπόλυσις.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.